σχῆμα· ὁ γὰρ πεσσὸς διεστηκὼς κύβος ἐστὶν ἐκ τριῶν τριγώνων περιεχόμενος· ἐξ ἴσου ἔχει τό τε ἔργον καὶ τὸν λόγον· ἅμα γὰρ τῷ ῥίπτειν τὰς ψήφους καὶ ἐπιλέγουσι τίνα, οἷον ς ε δ ἢ τρίεκτα ἤ τι τοιοῦτον. ἐπειδὴ δὲ ἐμνημονεύσαμεν ἀριθμητικῆς τε καὶ λογιστικῆς, δεῖ εἰδέναι, ὅτι διαφέρουσι τῷ τὴν μὲν ἀριθμητικὴν περὶ τὰ εἴδη τῶν ἀριθμῶν καταγίνεσθαι, τὴν δὲ λογιστικὴν περὶ τὴν ὕλην· εἴδη δὲ ἀριθμοῦ δύο, τό τε ἄρτιον καὶ τὸ περιττόν, καὶ πάλιν τοῦ μὲν ἀρτίου εἴδη τρία, τό τε ἀρτιάκις ἄρτιον τὸ ἄχρι μονάδος διαιρούμενον, καὶ τό περισσάρτιον τὸ ἐπιδεχόμενον μὲν πλείους διαιρέσεις οὐ μὴν ἄχρι μονάδος, ἀρτιοπέριττον δὲ τὸ μίαν μόνον διαίρεσιν δεχόμενον· τὸ δὲ περιττὸν καὶ αὐτὸ εἰς τρία, εἴς τε τὸ πρῶτον καὶ ἀσύνθετον καὶ εἰς ἄλλα δύο, περὶ ὧν

---

p. 30, **26** schema ut alibi sed hoc loco in columnam post οὕτως insertum:

τῶν τεχνῶν

- αἱ μὲν περὶ ἔργα μόνα καταγίνονται ὡς ζωγραφική, ἀνδριαντοποιική
- ἡ δὲ περὶ λόγους ὡς ἡ διαλεκτική
- ἡ δὲ καὶ περὶ ἔργα καὶ περὶ λόγους ὡς ἰατρική, γεωμετρία καὶ ἀριθμητική
  - αἱ μὲν μᾶλλον μὲν περὶ ἔργα, ἧττον δὲ περὶ λόγους ὥσπερ ἡ ἰατρική
  - αἱ δὲ μᾶλλον μὲν περὶ λόγους ἧττον δὲ περὶ ἔργα ὡς ἀριθμητική, γεωμετρία καὶ λογιστική
  - αἱ δὲ ἐξ ἴσου ὡς πεττευτική

| | |
|---|---|
| mg. τέχναι | περὶ ἃ καταγίνονται |
| ζωγραφική | περὶ ἔργα καὶ μόνον |
| διαλεκτική | περὶ λόγους μόνον |
| ἰατρική | περὶ ἔργα μᾶλλον λόγους δὲ ἧττον |
| ἀριθμητική | περὶ λόγους μᾶλλον ἔργα δὲ ἧττον |
| πεττευτική | περὶ ἄμφω ἐπ' ἴσης |

---

**1** mg. ση. τί ἐστι πεσσός **5** ση. τί διαφέρει ἀριθμητικὴ λογιστικῆς **9** mg. α' **10** mg. β' **12** mg. γ'